φύλαξ. Θεοὺς μὲν αἰτῶ τῶνδ᾿ ἀπαλλαγὴν πόνων
φρουρᾶς ἐτείας μῆκος, ἣν κοιμώμενος
στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην,
ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν,
καὶ τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς
λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι
ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν.
καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον,
αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν
ἁλώσιμόν τε βάξιν· ὧδε γὰρ κρατεῖ
γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ.
εὖτ᾿ ἂν δὲ νυκτίπλαγκτον ἔνδροσόν τ᾿ ἔχω
εὐνὴν ὀνείροις οὐκ ἐπισκοπουμένην
ἐμήν· φόβος γὰρ ἀνθ᾿ ὕπνου παραστατεῖ
τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ.
ὅταν δ᾿ ἀείδειν ἢ μινύρεσθαι δοκῶ,
ὕπνου τόδ᾿ ἀντίμολπον ἐντέμνων ἄκος,
κλάω τότ᾿ οἴκου τοῦδε συμφορὰν στένων,

2. τῶν κατὰ τὸ μῆκος τῆς ἐτείας φρουρᾶς. ἣν ἐπὶ μῆκος κοιμώμενος. 3. πρὸς τὸ φυλακτικὸν καὶ φιλοδέσποτον. τὸ δὲ ἄγκαθεν κατὰ συγκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν, τουτέστιν ἄνωθεν ἐξ ἀρχῆς. 6. τοὺς δυναμένους παρὰ τὰ ἄλλα σημᾶναι τοὺς καιρούς. 11. τὸ μείζονα ἢ κατὰ γυναῖκα βουλευόμενον, γενναῖον· ἢ κατὰ ἀνδρὸς βουλευομένης. 14. ἢ περισσὸς ὁ γάρ, ἢ λείπει τὸ ἀλύων. 18. οἴκου διαπονουμένου οὐκ ἄριστα ὡς τὸ πρόσθεν.

---

2. ἣν recc.: δ᾿ ἣν M. 3. στέγης Schneidewinus. 7. damnabat Valckenaerius. 11. ἐλπίζ$\overset{o}{\omega}$ν M. 18. κλαίω M.